## 12 IANUARIE
## NIKODIMOS AERAKIS

# PARACLISUL SF.MUCENIȚE TATIANA DE LA ROMA

## PARACLISIERUL PE IANUARIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 12 Ιανουαρίου

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ ΤΑΤΙΑΝΗΣ

**Ποίημα Ἀρχιμανδρίτου Νικοδήμου Ἀεράκη**

Ευλογήσαντος του ιερέως, το «Κύριε εισάκουσον…», μεθ’ ο το «Θεός Κύριος…», ως συνήθως, και τα εξής˙

Ήχος δ’. Ο υψωθείς εν τω Σταυρώ.

Τατιανήν εν εγκωμίοις τιμώμεν, και μεγαλύνομεν αυτής πολιτείαν, και αικισμούς και θάνατον υπέρ του Χριστού˙ ηύφρανεν εν τοις αθλήμασιν, Εκκλησίας το ποίμνιον, θαύμασι συντρίψασα την ειδώλων απάτην˙ διο εισήλθεν ουρανού, μάρτυς οσία, Χριστού νύμφη ένδοξος.

Δόξα. Το αυτό. Και νυν.

Τη Θεοτόκω ταπεινώς εκβοώμεν, οι απειλούμενοι εχθρού ταις ενέδραις˙ τη μητρική σου σκέπασον αγάπη ημάς˙ δίωξον Θεοχαρίτωτε, αντιδίκου τας

φάλαγγας, παύσον τας ορμάς παθών, και δαιμόνων μανίαν˙ Συ γαρ υπάρχεις Δέσποινα Αγνή, Μήτηρ και σκέπη, και θεία αντίληψις.

Ο Ν' ψαλμός και ο Κανών, ου η Ακροστιχίς˙ ΚΛΕΙΝΗ ΤΑΤΙΑΝΗ ΣΤΕΦΟΣ ΥΜΝΩΝ ΠΛΕΚΩ. ΝΙΚ(ΟΔΗΜΟΥ).

Ωδή α'. Ο Ειρμός. Ήχος πλ. δ'. Υγράν διοδεύσας.

Κατάπεμψον χάριν φωτιστικήν, Παράκλητον Πνεύμα, ανυμνήσαι θεοπρεπώς, της Τατιανής εγώ ο τάλας, την θαυμαστήν βιοτήν και μαρτύριον.

Λαμπρύνασα Μάρτυς την σην ψυχήν, θαυμαστοίς αγώσιν, εν ασκήσει πνευματική, Χριστόν ωμολόγεις παρρησία, ως Λυτρωτήν και Θεόν σου και Κύριον.

Επήρθης γηίνων Τατιανή, και κόσμου ηδέα, απηρνήθης θεοπρεπώς, λαβούσα δε χάριν σου Νυμφίου, την σην ζωήν ώσπερ σφάγιον έθυσας.

Θεοτοκίον.

Ικέται προστρέχομέν σοι σεμνή, τη μόνη Παρθένω τη τεκούση τον Ιησούν, τον δόντα τω κόσμω σωτηρίαν, και σοι Αγνή Αυτού δόξαν την άφθιτον.

Ωδή γ'. Ο Ειρμός. Ουρανίας αψίδος.

Νικηφόρως εισήλθες, Τατιανή ένδοξε, εις την Εκκλησίαν Αγίων, συνεορτάζουσα, και ανυμνούσα Χριστόν, μετά αγίων Αγγέλων, και συναπολαύουσα, δόξης και χάριτος.

Ηλιόμορφος ώφθης, Τατιανή πάνσεμνε, εν τοις αικισμοίς και βασάνοις, υπέρ της πίστεως, τη επισκέψει Χριστού, Όν καθικέτευε μάρτυς, ίνα χάριν λάβωμεν, οι ευφημούντές σε.

Την σεπτήν βιοτήν σου, Τατιανή δίδαξον, τοις ομολογούσι Σωτήρα, Χριστόν Θεάνθρωπον, και δι' αγώνων πολλών, επιζητούσιν εκ πόθου, αρετών το άγιον, κτήσασθαι πλήρωμα.

Θεοτοκίον.

Αγιότητος τύπος, των μοναχών κλέϊσμα, και σεμνών μητέρων ει δόξα, μαρτύρων έδρασμα, ω Θεοτόκε

Αγνή˙ τους ευσεβείς περιφρούρει, σαις λιταίς προς Κύριον, Θεομακάριστε.

Στερέωσον, ομολογούντων την πίστιν Μάρτυς του Λόγου, ότι πέλεις πάντων ημών, διδάσκαλος ένθεος, ως πάνσεμνος νύμφη του Θεανθρώπου.

Στερέωσον, τους ορθοδόξως τιμώντάς σε Θεοτόκε, εν τη πίστει του σου Υιού και βίου παλαίσμασιν, ως έχουσα μητρικήν παρρησίαν.

Μετά την γ' ωδήν, αίτησις και το Κάθισμα.

Ήχος β'. Τα άνω ζητών.

Σατάν πειρασμούς, νικήσασα πανένδοξε, Χριστόν αληθώς, επόθησας και έφυγες, τα του κόσμου ένεδρα˙ αικισμούς δε υπομείνασα, και εισελθούσα εις την ζωήν, πρεσβεύεις τω Λόγω, υπέρ πάντων ημών.

Ωδή δ'. Ο Ειρμός. Εισακήκοα Κύριε.

Της φωνής Σου ακήκοε, η Τατιανή και φαιδρώς προσέτρεξε, ώ Νυμφίε πολυπόθητε, προς σφαγήν ως θύμα υπέρ πίστεως.

Ικεσίαις Σης Μάρτυρος, Λόγε του Θεού ημάς καταξίωσον, του τηρείν τα Σα προστάγματα, επ’ ελπίδι της αιωνιότητος.

Απεκάθηρας ένδοξε, εν τοις αγωνίσμασι την εικόνα σου, και Χριστόν καθωμολόγησας, τον σεσαρκωμένον Λόγον πάνσεμνε.

Θεοτοκίον.

Νεολαίας Πανάχραντε, της πολεμουμένης, πέλεις το στήριγμα, καταφύγιον και φρούριον, ως Χριστόν γεννήσασα τον Κύριον.

Ωδή ε’. Ο Ειρμός. Φώτισον ημάς.

Ήλιος Χριστός, καταυγάσας σην διάνοιαν, εις αγωνίσματα ώ Τατιανή, περιχαρώς σε, ωδήγησε και μαρτύριον.

Στέφει σε Χριστός, εναθλούσαν παμμακάριστε, και βασιλείαν θείαν σοι χορηγεί, τιμών αξίως, πανένδοξε σον μαρτύριον.

Ταπείνωσιν Χριστέ, και αγάπην ημίν δώρησαι, ταις ικεσίαις της Τατιανής, ίνα αξίως, εκείνης πολιτευσώμεθα.

Θεοτοκίον.

Έφεσιν ψυχής, προς αγώνας εξαιτούμεθα, παρά Χριστού παθόντος υπέρ ημών, αγνή Παρθένε, ταις σαις ικεσίαις Πάνσεμνε.

Ωδή ς'. Ο Ειρμός. Την δέησιν.

Φυλάξασα την ψυχήν σου ένθεον, συ προέκρινας Χριστόν των προσκαίρων˙ διο χωρείς εις μαρτύριον παλαίστραν, την σην ζωήν ώσπερ σφάγιον θύσασα˙ όθεν εισήλθες εν χαρά, εις παστάδα ουράνιον πάνσεμνε.

Ουράνια αγαθά ποθήσασα, εν Χριστώ κατανικάς τον Βελίαρ˙ και την ψυχήν γεγονυία ανδρεία, των δυσσεβών την βουλήν κατεπάτησας˙ διο θερμώς αντιβολώ, σαις πρεσβείαις ρυσθήναι κολάσεως.

Συ ένδοξε αικισμούς ενίκησας, και τυράννου απειλάς θηριώδεις˙ ότι Χριστόν, τον νυμφίον σου μάρτυς,

έσχες εν στέρνω τω σω δυναμούντά σε˙ διο ικέτευε Αυτόν, την εμήν καταυγάσαι διάνοιαν.

Θεοτοκίον.

Υπέρτιμον ανεδείχθης Δέσποινα, καταφύγιον γεννήσασα Λόγον, ότι εν σοι ενικήθη ο Πλάνος, και κατελύθη το κράτος του Δράκοντος˙ σου δέομαι, ταις σαις λιταίς, λυτρωθήναι δεινών τους υμνούντάς σε.

Στερέωσον, ομολογούντων την πίστιν Μάρτυς του Λόγου, ότι πέλεις πάντων ημών, διδάσκαλος ένθεος, ως πάνσεμνος νύμφη του Θεανθρώπου.

Στερέωσον, τους ορθοδόξως τιμώντάς σε Θεοτόκε, εν τη πίστει του σου Υιού και βίου παλαίσμασιν, ως έχουσα μητρικήν παρρησίαν.

Μετά την ς' ωδήν, αίτησις και το Κοντάκιον.

Ήχος β'. Προστασία των Χριστιανών.

Ευφημούμέν σε Τατιανή παναοίδιμε, της ασκήσεως το αληθές εγκαλλώπισμα, αγάπης δε προς τον Χριστόν υπόδειγμα λαμπρόν˙ έλαβες γαρ εκ του Θεού, του μαρτυρίου την τιμήν, και θαυμάτων την

δύναμιν˙ Τάχυνον εις πρεσβείαν, και σπεύσον εις ικεσίαν, ώ θαυμαστή Τατιανή, Εκκλησίας θείον κλέϊσμα.

Προκείμενον.

Υπομένων υπέμεινα τον Κύριον και προσέσχε μοι.

Στίχος. Έστησεν επί πέτραν τους πόδας μου, και κατηύθυνε τα διαβήματά μου.

Ευαγγέλιον Μαρτυρικόν.

Δόξα.

Ταις της Αθληφόρου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν.

Ταις της Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Προσόμοιον.

Στίχος: Ελεήμον, ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Ήχος πλ. β’. Όλην αποθέμενοι.

Δεύτε ευφημήσωμεν, Τατιανήν εγκωμίοις, Ρώμης θείον βλάστημα, ευσεβών γονέων το εγκαλλώπισμα, αρετής καύχημα, προσευχής τον τύπον, της θυσίας το αγλάϊσμα, ομολογίας τε, και του μαρτυρίου το πρότυπον, της πίστεως διδάσκαλον, και της δυσσεβείας τον έλεγχον˙ Όθεν ο Νυμφίος, δεξάμενος αγίαν βιοτήν, και μαρτυρίου τα αίματα, λαμπρώς ταύτην έστεψεν.

Σώσον ο Θεός τον λαόν Σου…

Ωδή ζ'. Ο Ειρμός. Οι εκ της Ιουδαίας.

Μεγαλύνεις Αγία, Ιησούν τον Δεσπότην εν μαρτυρίω φρικτώ, βοώσα εκ καρδίας, πάσι τους ευσεβέσι, ανυμνείν μετά πίστεως˙ ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Νικηφόρως η Μάρτυς εναθλούσα γενναίως υπέρ Χριστού του Θεού, συνήγειρε τα πλήθη, δοξάζειν τον Σωτήρα, και συμψάλλειν εν Πνεύματι˙ ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ως νυμφίον τον Λόγον, ενεθρόνισας Μάρτυς εν ση καρδία Σεμνή˙ διο κατηξιώθης παράδεισον οικήσαι, και βοάν προς τον Κύριον˙ ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Θεοτοκίον.

Νεανίδων χορείαι, την Παρθένον τιμώσιν ως Θεοτόκον Αγνήν, και ψάλλουσιν εκ πόθου, ωδήν τω ταύτης Γόνω, τω λυτρώσαντι άπαντας˙ ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ωδή η'. Ο Ειρμός. Τον Βασιλέα.

Παρατηρούσα την των μαρτύρων πορείαν, ηξιώθης θεάσθαι τον Κτίστην, Ον υπερυψούμεν, εις πάντας τους αιώνας.

Λελαμπρυσμένην Τατιανή εν βασάνοις, ικετεύεις τον Κτίστην απαύστως, υπέρ των υμνούντων, Χριστόν εις τους αιώνας.

Εν μαρτυρίω ομολογούσα τον Λόγον, κατεστέφθης εν δόξη Αγία, συν πιστοίς τιμώσα, Χριστόν εις τους αιώνας.

Θεοτοκίον.

Κραταιωθείσα ταις σαις πρεσβείαις η Μάρτυς, κατενίκησε Πλάνου παγίδας˙ νυν δε τον Υιόν σου, υμνεί Παρθενομήτορ.

Ωδή θ’. Ο Ειρμός. Κυρίως Θεοτόκον.

Ως σφάγιον η Μάρτυς, θύεται ενδόξως, επιθυμούσα αρρήτου και θείας ζωής˙ διο επλήσθη της θείας, χάριτος άνωθεν.

Ναώ τω ουρανίω, μαρτύρων η χορεία, Τατιανήν υπεδέξατο περιχαρώς˙ μεθ’ ής εν χώρα των ζώντων, συνεορτάζουσιν.

Ικάνωσον λιταίς σου, προς τον Ζωοδότην, τους ανυμνούντάς σε Μάρτυς, εν θείαις ωδαίς, κατά παθών μετ’ ανδρείας, εναγωνίζεσθαι.

Θεοτοκίον.

Κηρύττομεν Παρθένε, άσπορον σον Τόκον, και προσκυνούμεν ενθέως, ως Λόγον Πατρός, αναφωνούντές σοι πόθω˙ χαίρε Θεόνυμφε.

Άξιόν εστίν... Και τα παρόντα Μεγαλυνάρια.

Δεύτε ευφημήσωμεν ευλαβώς, Μάρτυρα Κυρίου, την αγίαν Τατιανήν, την απαρνηθείσαν, επίκηρα του κόσμου, ποθούσαν δε Νυμφίου, την θείαν ένωσιν.

Χάριτι Κυρίου οσιακώς, ησκήθη εν ζήλω, η θεόφρων Τατιανή, ζωήν της θυσίας, εκ πόθου ασπασθείσα, μαρτύρων το κλέος, επιποθήσασα.

Έρωτι τρωθείσα του Ιησού, μαρτύρων τον βίον, απεδέχθη Τατιανή˙ διο ηξιώθη, ως σφάγιον τυθήναι, συνείναι δε Νυμφίω εν θείοις δώμασι.

Φύλαξον καρδίας χριστιανών, των σε ευφημούντων, εν τη πίστει Τατιανή, τη του Ζωοδότου, Χριστού του Θεανθρώπου, ίνα εν τω Κυρίω, ορθώς βιώσωσιν.

Παύσον τα φρυάγματα του Σατάν, πράυνον τα πάθη, ώ Αγία ταις σαις λιταίς, προς τον Ιησούν μου, γαλήνευσον καρδίας, ίνα εν κατανύξει, Τριάδα μέλπωμεν.

Σώσον σαις πρεσβείαις εκ των παθών, πιστούς Εκκλησίας, θεοφόρε Τατιανή, θερμώς εκζητούντας,

οδόν την του Κυρίου, και βίον αληθείας, και αγιότητος.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι άγιοι Πάντες, μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν, εις το σωθήναι ημάς.

Το Τρισάγιον. Και το Απολυτίκιον.

Ήχος γ’. Θείας πίστεως.

Δεύτε άσμασι και εγκωμίοις, καταστέψωμεν, της Ρώμης γόνον, και των μαρτύρων σεπτόν εγκαλλώπισμα, Τατιανήν ευσεβείας υπόδειγμα, και αρετής το λαμπρόν οικοδόμημα. Μήτερ ένδοξε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Εκτενής και Απόλυσις. Μεθ’ ήν ψάλλομεν.

Ήχος β’. Ότε εκ του ξύλου.

Δεύτε ευσεβή Τατιανήν, των Χριστομαρτύρων το κλέος, και των πιστών τον πυρσόν, άσμασι τιμήσωμεν, και ευφημήσωμεν˙ τον Χριστόν γαρ ηγάπησε, και πάντα ηρνήθη, πλούτον ηδυπάθειαν,

ζωήν την πρόσκαιρον˙ όθεν ουρανίοις θαλάμοις, χαίρουσα οικεί πανενδόξως, του Χριστού η μάρτυς η ακήρατος.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην σου.

